ΕΚΕΙΝΗ
H. RIDER HAGGARD


SHE
SIR RIDER HAGGARD
Πρῖνος
Λέων Οὐϊγκιαῖος
Στατή
Βιλλαρικός
Μουχαμέτης
STORY ADAPTATION BY DICK DAVIS
ILLUSTRATIONS VINCENT NAPOLI

Τὸ Κανταβριγιακὸν Πανεπιστήμιον ἐν τῇ Ἀγγλίᾳ

Οἱ μαθηταὶ τῆς παλαιᾶς Αἰγυπτίας ἱστοριᾶς καταπλησσόμενοι ἀκροῶνται τοῦ καθηγητοῦ Λ. Ὀ. Πρίνου.
Τάδε ἐστὶ περὶ θαυμαστῆς τύχης. Ἅπερ οἱ μέν τινες λέγοιεν ἂν μῦθον καταπληκτικὸν εἶναι, ἐγὼ δ’ οἶδα συμβεβηκότα. Παρῆν γὰρ ἐξ ἀρχῆς, τριακοστὸν ἔτος τουτί, πολλῆς νυκτὸς καὶ ὄμβρου ὄντων, ὅτε τις ἔκοψε τὰς θύρας μου.


Πρὸ τριάκοντα ἐτῶν...
Κύριε, ἄνθρωπός τις φαινόμενος ἄγριος ἕστηκεν ἐπὶ τῇ θύρᾳ. Οὐδὲ συνίημι ὅ, τι λέγει.
Ἴσως πεινῇ. Δὸς ἐκείνῳ τῷ ταλαι-πώρῳ ἔδεσμα.
Πρῖνε, φίλε, πρὸς σὲ χρῇ με ἐλθεῖν.
Ἰωάννη Οὐιγκιαῖε. Εἴσελθε.
Ἰωάννης Οὐιγκιαῖος ἐγεγόνει συμμαθητὴς ἐκ πλουσίου οἴκου Ἀγγλικοῦ ὤν. Ὁ δ' ἐκείνῃ τῇ νυκτὶ κακῶς πάσχων ἔχρῃζε φίλου.
Καλοκἀγαθὸς εἶ, ὦ Πρῖμε. Ὑπόσχου οὖν δύο. Πρῶτον μὲν φυλάξειν τοῦτο τὸ μέλαν κιβώτιον.
Τί ἐν τῷ κιβωτίῳ;
Ἔνδον κεῖται ἡ ἱστορία τοῦ Οὐιγκιαίου οἴκου, ὅσοι διὰ δισχιλίων ἐτῶν τραγικῶς βεβιώκασί τε καὶ τεθνήκασιν.
3

Τὶ θάτερον δεῖ με ὑπισχνεῖσθαι;
Σὲ εἰσποιησάμενον παιδεύσεσθαι τὸν πενταετῆ υἱόν μου, τὸν Λέοντα Οὐγκιαῖον.
Διὰ τί σὺ οὐ παιδεύεις τὸν σεαυτοῦ υἱόν;
Ἡ μὲν γυνή μου ἀποτέθνηκεν. Ἐγω δὲ ἀπόλλυμαι νόσον τινὰ σπανίαν κτησάμενος ἐν τῇ Ἀφρικῇ.
Τὶ δὴ ἐν τῇ Ἀφρικῇ ἔπρασσες;
Ἐπειρώμην ἐκδικῆσαι Καλλικράτην πεφονευμένον, τὸν τῆς Ἴσιδος μέγαν Αἰγύπτιον ἀρχιερέα. Ἐγὼ γὰρ ἀπ' ἐκείνου γέγονα.
Ὁ μὲν Καλλικράτης ἐφονεύθη ὑπὸ βασιλίσσης τινὸς Κόρου, λευκῆς τε καὶ μεγάλης, διὰ ζηλοτυπίαν ὀργισθείσης. Νῦν δ' αὐτὴν δεῖ δίκην διδόναι.
Καλλικράτης, τῆς Ἴσιδος ἀρχιερεὺς ὤν, ἐβίωσεν ἐν τῇ Αἰγυπτίῳ δισχιλιοστὸν ἔτος τουτί.

Πῶς ἂν ἐκδικοίης φόνον δισχιλιοστὸν ἔτος τουτὶ πραχθέντα; Ἡ γὰρ λευκὴ βασίλισσα, ἥτις ἔτυχεν οὖσα, ἀποτέθνηκεν ἀπ᾽ αἰῶνος.
Ἔτι ζῇ. Ἡ δὴ μεγάλη λευκὴ βασίλισσα, ἥπερ διὰ ζηλοτυπίαν ὀργισθεῖσα ἐφόνευσε τὸν πρόγονόν μου τὸν Καλλικράτην, ἔτι ζῇ. Εὕρηκε γὰρ τὸ ἀπόρρητον ζωῆς αἰωνίου.
Οὐιγκιαῖος μαίνεται. Πῶς γὰρ πιστεύει τοῦτον τὸν φλύαρον περὶ βασιλίσσης λευκῆς τινος δισχίλια ἔτη γεγονυίας;
Ἐποιησάμην οὖν τὴν ὑπόσχεσιν τῷ Οὐιγκιαίῳ. Πρωῒ δέ, καλέσων τοὺς δημοσίους, ἔμελλον ἐκεῖνον εἰς τὴν τῶν μαινομένων φυλακήν
Οἱ νομικοί μου δώσουσί σοι πάντα τὰ χρήματα ὁπόσων ἄν ποτε δεήσῃ σοι. Ἔρρωσο, ὦ φίλε. Φίλησον ἀντ᾽ ἐμοῦ Λέοντα τὸν υἱόν μου καὶ τὸ κιβώτιον καταφύλασσε.

Πρωῒ τῇ ὑστεραίᾳ ἀπεθαύμασα.
Τί τοῦτό ἐστιν;
Ὅδε ὁ παῖς ἄρτι παρ-
εδίδοτο πρὸς τῇ ἔμπροσθεν
θύρῃ ὑπὸ νομικοῦ τινος
εἰπόντος ὅτι
συνήσει.
Λέων Οὐιγκιαῖος
ὀνομάζομαι.
Οὗτος οὖν γέγονεν
ἀπὸ τοῦ Αἰγυπτίου ἀρχιερέως
τῆς Ἴσιδος, τοῦ Καλλικράτου.
Ποῦ ἐστιν ὁ τοῦ παιδὸς
πατήρ;
Ὁ μὲν Οὐιγκιαῖος οὐ πολὺ τῇ πρόσθεν
νυκτὶ ἐντεῦθεν ἀπελθὼν ἐτελεύτησεν. Ἧδε
δ' ἡ ἐπιστολὴ ἀφίκετο ἅμα τῷ παιδί.
Ἀναγιγνώσκω
τὴν ἐπιστολὴν τῇ τοῦ
Οὐιγκιαίου χειρί, τῇ νῦν μου
ἐφαπτομένῃ ἐξ ᾅδου...
Περίμεινον εἴκοσιν
ἔτη πρὶν ἂν τὸ κιβώτιον
ἀνοίξῃς. Μηδὲ λέγε μηδὲν
Λέοντι μέχρι τοσούτου. Εἰκόσι
γὰρ ἐτῶν δεῖ ἐκεῖνον
παρασκευάζεσθαι ἐκδικῆσαι
Καλλικράτη πεφονευμένον.
Ἐγώ, Ἰωάννης
ὁ Οὐιγκιαῖος,
ἐντέλλομαι αὐτῷ
ἐπιζητεῖν τὴν
λευκὴν βασίλισσαν.
6


Παρερχομένων δὲ τῶν ἐτῶν, ποιῶν κατὰ τὰ τοῦ Οὐίγκιαίου γράμματα, οὐκ ἔλεγον Λέοντι οὐδέν. Καὶ διδάσκαλος ὤν, οἷός τε ἦν παρασκευάζειν τὸν Λέοντα πρὸς τὴν ζήτησιν αὐτοῦ. Ἐδίδαξα γὰρ αὐτὸν καὶ τὴν Ῥωμαϊκὴν καὶ τὴν Ἑλληνικὴν καὶ μὴν τὰ Αἰγύπτια ἱερογλυφικά γε.
Καὶ ἐπαίδευσα τὸν παῖδα χρῆσθαι πυροβόλῳ καὶ εὐθὺ βάλλειν.
Ἐπὶ σκοπόν, θεῖε Πρῖνε.
Ὁ δὲ Λέων φύσει ἦν καὶ ἀθλητὴς καὶ μαθητής. Ὁ γὰρ ἔχων ἰσχύν τε καὶ ῥώμην ὕστερον ἔσῳζέν με.
Ἐκείνου δὲ κβʹ ἔτη γεγονότος τῷ Κανταβριγιακῷ Πανεπιστημίῳ προαχθέντος, ἤγγιζεν ἡ ἡμέρα ὅτε, κατὰ τὴν τῷ Λέοντος πατρὶ ἐπαγγελίαν μου, τὸ κρύφιον μέλαν κιβώτιον δέοι ἀνοιχθῆναι.
Τί δὴ τῶν ἀπορρήτων ἐνῆν αὐτῷ;
7


Καὶ ἦλθεν τὰ κε’ γενέθλια. Ἐγὼ μὲν ἄρα Λέοντι διηγησάμην τὰ περὶ τοῦ προγόνου αὑτοῦ τοῦ Καλλικράτους τε καὶ τῆς λευκῆς βασιλίσσης εὑρηκυίας τὸ ἀπόρρητον ζωῆς αἰωνίου. Λέων δ’ ἐνόμισέ με παίζειν.
Οὐ μὴν πιστεύεις τοιαῦτα, θεῖε Πρῖνε.
Ἀνοίξωμεν τὸ κιβώτιον.
Ἔπειτα Λέων στρέφει τὴν κλεῖν ἐν τῷ παλαιῷ κλείθρῳ.
Ἆρα ἔτι νομίζεις τοῦτο παιδιὰν εἶναι;
Αἰγύπτιόν γε δή.
8


Τὸ δὲ κιβώτιον εἶχεν ἐπιστολὴν ἀπὸ τοῦ πατρὸς τοῦ Λέοντος καὶ δακτύλιον κανθαρῶδες θαυμαστὸν καὶ ὄστρακον Αἰγύπτιον.
Λέοντι τῷ τέκνῳ.
Οὕτω δὲ τὸ δακτύλιον ἥρμοζε τῷ τοῦ Λέοντος δακτύλῳ ὥσει προπεποιημένον ἦν. Καὶ σημειῶδες δὴ ἐκεῖνο. Ἦν γὰρ ὁ τοῦ Καλλικράτους κάνθαρος.

Θαυμαστῶς αἰσθάνομαι πάντα μοι γνώριμα ὄντα. Ὅμως πῶς τοῦτ' ἐνδέχεται; Τί γέγραπται ἐπὶ τοῦ ὀστράκου, θεῖε Πρῖνε;
Τοῦτο δοκεῖ γραφῆναι ὑπὸ Ἀμενάρταδός τινος, τῆς Καλλικράτους γνησίας γυναικός.
9



ὦ γεγονὼς ἀπὸ Καλλικράτους, ἄκουέ μου. Ἐπιζήτει τὴν λευκὴν βασίλλισαν τὴν εὑρηκυῖαν τὸ ἀπόρρητον ζωῆς αἰωνίου. Καὶ τὴν οἰκοῦσαν πρὸς τῷ ποταμῷ σεσημειωμένῳ κεφαλῇ Αἰθίοπος. Ἐὰν δὴ γενεὰ ἄλλη ἁμάρτῃ, ἄλλη πειράσθω ἕως ἄν, ἐκείνης βασανισθείσης, ἐκδικήσῃ Καλλικράτην πεφονευμένον...
Ἔπειτα ὁ Λέων ἤνοιξε τὴν ἐπιστολὴν ἀπὸ τοῦ ταλαιπώρου πατρός.
Οὐιγκιαῖος ἡ ἡμετέρα ἐπωνυμία ἦλθεν ἀπὸ τῆς Ῥωμαϊκῆς λέξεως Vindex, ἣ ἑρμηνεύεται τιμωρός. Ἐγὼ μὲν ἐπιζητῶν δέδωκα τὸν βίον. Σοὶ δὲ χρὴ προκόπτειν ἣ ἐλλέλοιπα.
10

Θαυμάσια πάσχω. Πάντα μὲν γὰρ ἀλλότρια, ἐγὼ δὲ **πιστεύω**.
Ἀκούω πως δεῖν με ἐκ-δικῆσαι τὸν πατέρα τε καὶ πάντας τοὺς συγγενεῖς ἐληλυθότας πρὸ ἐμοῦ διὰ τῶν αἰώνων.
Πρὸς ἓν γὰρ εἶχε τὸν νοῦν, πρὸς τὴν τιμωρίαν. Ἀλλ᾽ εἰ δέοιτο μου, ἔμελλον ἀκολουθεῖν αὐτῷ εἰς τὰ ἔσχατα τῆς γῆς.
Τότε ὁ πρόσθεν χρόνος ὑπερφυῶς ἐγένετο ἐν πείρᾳ. Ὅπερ γὰρ ἐδόκει μοι μῦθος εἶναι, τοῦτο ἦν Λέοντι πρᾶγμα. Τούντεῦθεν Λέων ἠλλαγμένος ἦν.
Πότε ἔξεστιν ἡμῖν πορευθῆναι εἰς τὴν Ἀφρικήν;
Ὅταν πρῶτον βούλῃ. Ὁ γὰρ πατ-ήρ σου ἐφῆκεν πάντα τὰ χρήματα ὁπόσων ἂν ποτε δεήσῃ ἡμῖν πρὸς τὰ πυροβόλα καὶ τὰς μολυβδίδας καὶ τὰ σκεύη.


ΑΦΡΙΚΗ
Ζανσεβάρη
Ἰτέον δ’ είς Ζανσεβάρην. Τρισὶν οὖν μησὶν ὕστερον, ἐγὼ καὶ Λέων σὺν ὀλίγοις ναύταις ὑπ’ αὐτόχθωνι Μουχαμέτῳ τοὔνομα, ἐπορεύθημεν παρὰ τὸ ἀνατολικὸν τῆς Ἀφρικῆς πέρας. Ἔπειτα ἐν Ζανσεβάρῃ παρεσκευασάμεθα διέρχεσθαι εἰς τὴν μεσόγαιαν.
Ἔρχεται θύελλα, δέσποτα.
Πρηστήρ ἐστι θύελλα ἐπὶ πολὺ συμβαίνουσα ἐν ἐκείνοις τοῖς ὕδασι καὶ ἐπικίνδυνος καὶ αἰφνίδιος καὶ πολλάκις θανατηφόρος.
Καὶ ἐρράγημεν ὥσπερ σφύρᾳ κεκομμένοι.
12


Σώσω σε, θεῖε Πρῖνε.
Τῷ μὲν ἰσχύι τε καὶ τῇ γνώμῃ ὁ Λέων ἐγένετό μοι εἰς σωτηρίαν. Ἡ δὲ θύελλα οὕτω ταχὺ ἀπῆλθεν ὥσπερ ἠληλύθει.
Βοήθησον, Μουχαμέτη.
Ἔχομεν μὲν πυροβόλα καὶ μολυβδίδας, ἐδώδιμα δέ τινα προσηνέχθη εἰς τὴν γῆν.
Δεῖ πλήθους. Μακρὰν Ζανσεβάρης.
Ἰδέ.
Τὴν κεφαλὴν τοῦ Αἰθίοπος, τὴν εἰρημένην ἐπὶ τοῦ ὀστράκου ἐν τῷ Οὐιγκιαίου κιβωτίῳ, τὴν λεγομένην σημειοῦν τὸν ποταμὸν ῥέοντα εἰς τὴν γῆν τῆς λευκῆς βασιλίσσης Κόρου.

Τοῦτ᾽ ἔστιν πάνυ ἡ κεφαλὴ τοῦ Αἰθίοπος. Ἐκεῖ δὲ κεῖται ὁ ποταμός.
Ὁ δὲ Λέων θαυμαστῶς ἐταράχθη. Καὶ γάρ τοι ἔπρασσεν ὡς ἄνθρωπος πολὺν μὲν χρόνον ἀποδημήσας οἴκαδε δὲ τέλος ἐληλυθώς. Ὥστε ὁ Λέων σχεδὸν ἐδόκει ἐκεῖ πρόσθεν παραγενέσθαι.
Εἶμι ἀνὰ ποταμόν. Πέπεισμαι γὰρ τὴν ὁδὸν ἀσφαλῆ εἶναι.
Ὁ οὖν Λέων εἰσήνεγκεν ἓν τῶν σκαφιδίων τῆς θυέλλης περιγενομένων καὶ εἰς τὴν γῆν προσ-φερομένων. Ὁ γὰρ νεανίσκος προῃρημένος ἦν ἀνὰ ποταμὸν πορεύεσθαι.
Οὐκ ἀγαθὸν τοῦτο. Οὐχὶ δυστυχία;


Ἠρξάμεθα οὖν προβαίνειν διὰ τῆς ἀτμιδώδους ὕλης. Ἀπορῶ δὲ πότερόν τις ἡμῶν οὕτως ἂν ἐθάρρησεν ὥστε τοιαύτην πορείαν ποιεῖσθαι, εἰ ᾔδειμεν μικρόν τι τῆς μελλούσης αἰσχρότητος.
Εἴκοσι δ' ἡμέραις ὕστερον ὁ ποταμὸς σχίζεται. Ποτέραν ὁδὸν βαδιούμεθα;
Ἴδε. Αὕτη ἐστὶ παλαιὰ διῶρυξ.
Τείχη λίθινα διώρυχος. Θαυμάζω.
Ἀρχαῖαι Αἰγύπτιαι γλυφαί. Βουλοίμην ἂν πλείω χρόνον ἐξετάζειν τοῦτο. Στρατοπεδευώμεθα οὖν ἐνταῦθα διὰ τῆς νυκτός.
Ἐκείνῃ δὲ τῇ νυκτὶ οἱ φοβεροὶ Ἀμαγερραῖοι ἦλθον ἐφ' ἡμᾶς.
15

Κατέσχομεν δὴ τὰ πυροβόλα. Οἱ γὰρ Ἀμαγερραῖοι οὐδέποτε ἔγνωσαν τὴν πυρίνην κόνιν.
Ὁ μὲν ἡγεμὼν αὐτῶν πάντως ἐπεδείκνυτο ἀρχαῖος Αἰγύπτιος ἱερεὺς ὤν. Ἐγὼ δ’ ἠπόρουν εἰ εἰδείη τὰ περὶ Καλλικράτους. Ἐν καιρῷ μέντοι ἔμελλον μανθάνειν. Ὁ δὲ ἄνθρωπος ἐλάλει τῇ τῶν ἀρχαίων **Αἰγυπτίων γλώσσῃ**.
Πολλὰς ἡμέρας κατασκοπῶ ὑμᾶς, ξένοι. Νῦν ἔρχεσθε σὺν Βιλλαρικῷ.
Ἆρα γνώμην ἔχεις ἀποκτεῖναι ἡμᾶς, ὦ Βιλλαρικέ;
Ἀμαγερραῖοι λαός μου ἀποκτείναιεν ἂν ὑμᾶς. ξενοὶ οὐκ ἀρέσκουσιν. Ἐγὼ δ’ ἐλήλυθα ἄγειν ὑμᾶς. **Ἐκείνη** κελεύει.
Τίς ἐστιν **ἐκείνη**;
Ἐκείνη ᾗ δεῖ πειθαρχεῖν. Βασίλισσα λευκὴ γῆς Κόρου.

Ἔπειτα, Λέοντος Ἀγγλιστὶ μοι λαλοῦντος, Βιλλαρικὸς οὐ συνῆκεν.
Ἐκείνη, ἡ λευκὴ βασίλισσα Κόρου. Ὀρθῶς ἀνιχνεύομεν.
Μὴ τοῦτο ἀπολέσαι ἡμᾶς.
Ἄνδρες μου βαστάσουσιν ὑμᾶς ἐν φορείοις. Ὁδὸς διὰ τέλματος μακρὰ καὶ ἐπικίνδυνος. Σπεύδετε.
Ἀπορῶ διὰ τί δεῖ ἡμᾶς σπεύδειν, τῶν αὐτοῦ ἀνθρώπων λαλούντων τῇ τῶν ἀρχαίων Αἰγυπτίων γλώσσῃ καὶ ἀρχομένων ὑπὸ βασιλίσσης λεγομένης γε δισχίλια ἔτη βεβιωκέναι.
Πρὸς μὴν ταύτην τὴν πορείαν ἐπεπαιδεύκη Λέοντα, εἴκοσιν ἔτη παρασκευάζων αὐτὸν ζητεῖν τὴν λευκὴν βασίλισσαν Κόρου, τὴν φονεύτριαν Καλλικράτους.
Βιλλαρικέ.
Βοηθήσατε.

Τί ἐγένετο;
Βιλλαρικὸς ὀλισ-θήσας πέπτωκεν.
Ἀπόλλυμαι.
Διὰ τί οὐ βοηθοῦσιν;
Ὅτι φοβ-οῦνται.
Αὐτὸς σώσω Βιλλαρικόν.


Σπεῦδε.
Ὁ δὴ Βιλλαρικὸς ἦν ἡ μόνη ἐλπὶς ἡμῶν. Εἰ γὰρ ἀπέθανεν, οἱ Ἀμαγερραῖοι ἀπέσφαξαν ἂν ἡμᾶς.
Φίλε μου, οὔποτε ἐπιλήσομαί σού με σώσαντος. Ὕστερον ἴσως αἰτήσειας ἄν με χάριν. Ἀληθῶς συγχωρήσω σοι ὅ, τι ἂν αἰτήσῃς.
Ἔπειτα δὲ πάλιν ὡρμήσαμεν. Πρωῒ δ᾽ ἐγερθεὶς οὐδαμῶς ἂν ᾔκασα ὅπερ ἐν ὀφθαλμοῖς ἐφάνη.
19

Ἰδοὺ ἡ πατρὶς τῶν Ἀμαγερραίων, δηλαδὴ κρατήρ τις ὀκτὼ μὲν σταδίους τὸ βάθος, ἑξήκοντα δὲ τὸ εὖρος. Γῆ δὴ θαυμασία καὶ κεχωρισμένη ἐν γῇ θαυμασίᾳ, ὅπου ὁ τῶν Ἀμαγερραίων λαὸς καταλειφθεὶς γένους ἀρχαίου ἐβιότευεν ἐν ἄντροις.



Τί δοκεῖ σοι περὶ τούτου, θεῖε Πρῖνε;
Έποιήθη ἐπὶ τῶν ἀρχαίων βασιλέων Ῥά.
Ἔχε τὴν χεῖραν ἐπὶ τῷ πυροβόλῳ.
Σὺ εἶ ἡ λευκὴ βασίλισσα... ***Ἐκείνη***.


Οὐχί, ἀλλὰ Στατή εἰμί, ἔνδοξος θυγάτηρ Ἀμαγερραίων.
Βασίλισσα λευκὴ κάθηται ἐπὶ θρόνου ἐν βασιλείοις Κόρου.
Λέων μὲν οὐκ ἐδυνήθη τῇ ξένῃ ἐξ Αἰγύπτου νύμφῃ ἐνίστασθαι.
Ἐγὼ δ’ ἐνεθυμήθην θαυμάζων Λέοντα ἐοικότα τοῖς ἠφανισμένοις ἐκ τῆς Αἰγύπτου ὁμοεθνέσι. Προσῆκεν γὰρ ταύτῃ τῇ ἀρχαίᾳ γῇ.
Σὺ ἀνήρ μου, Στατὴ γυνή σου.
23

Μουχαμέτης ἐδόκει αὐτίκα ποιήσειν γάμους.
Μηδαμῶς. Ὑμεῖς ἄνθρωποι ἀλλότριοι.
Θαυμάσιον ἔθος λαοῦ Ἀμαγ-ερραίου· γυναῖκες αἱροῦνται ἑαυτῶν ἄνδρας. Λέων καὶ Στατὴ γεγαμήκασιν ἕως αὐτὸς παρ' ἡμῖν μένει.
Οὐκ ἐπιθυμέω πωγωνίου. Οὐ πιστεύω πώγωνι μέλανι.
Λαὸς ἐπικίνδυνος. Λέων δὲ νεανίας ὤν, οὐχ ὁρᾷ πῶς τούτοις, ὡς εἰπεῖν, γάμοις ἡ τῆς λευκῆς βασιλίσσης ζήτ-ησις ἐμποδίζοιτο ἄν.
Νῦν δεῖ Βιλλαρικὸν ἀπαλλαχθῆναι ὑμῶν. Εὐψυχεῖτε... συμπόσιον... πολλὰ ἐδέσματα.

Ἡ γυνὴ Μουχαμέτῃ ἀνανενευμένη...
Θαυμάσιον συμπόσιον. Οὐδὲ γὰρ ἓν ἔδεσμα ἦν ἐν ὄψει. Οἱ δ' Ἀμαγερραῖοι ὀργιζόμενοι ἐφαίνοντο ὅτι Μουχαμέτης ἀνανεύσειε γαμεῖν τὴν γυναῖκα.
Χύτρα μεγάλη φλοξὶν ἐκαίετο.
Τὸ περίστροφον, Λέον. Βάλε ἢ Μουχαμέτης ἀποθανεῖται.

Ἐκ δὲ τοῦ θορύβου ἐξωρμήσαμεν.
Εἶα, ἔκδραμε.
Πέτρος γίγνεται χρηστὸν φρούριον.
Ἐχάρην μὲν παιδεύσας Λέοντα εὐθὺ βάλλειν.
Ἐπὶ σκοπόν, θεῖε Πρῖνε.
Χρώμενοι γὰρ τοῖς πυροβόλοις οὐκ ἐδυνήθημεν εἴργειν τοὺς Ἀμαγερραίους.
Λέων δὲ χαλεπῶς τραυματισθεὶς ἐκινδύνευε ἀποθανεῖν.
26

Λήγετε ἐν ὀνόματι **Ἐκείνης**.
Λέων τέτρωται. Εἷς γὰρ τούτων λόγχῃ αὐτοῦ τὴν πλευρὰν ἔνυξεν.
Σιγᾶτε. **Ἐκείνη** ἔρχεται.
Ἡ λευκὴ βασίλισσα.
Κύνες, παύσασθε μαχόμενοι.


Ὑποδέχομαι ὑμᾶς είς τὴν γῆν Κόρου.


Ἐκείνη δὲ τῷδε τῶν Αἰγυπτίων ἐπέπειστο, ὅτι αἱ ψυχαὶ μετὰ τὸν θάνατον εἰς ἄλλα σώματα ἐνδύοιντο.
Δισχίλια ἔτη ἀναμένω τὴν σάρκωσιν τοῦ μὲν ἐρωμένου μου, ὃν δὲ διὰ ζηλοτυπίαν ὀργισθεῖσα ἐφόνευσα. Ὄνομα δὴ αὐτῷ Καλλικράτης. Διὰ τοῦτο οὖν δεῦρο ἤχθητε. Ἐλπίζω γὰρ ἕκαστόν τινα τῇδε πορευόμενον Καλλικράτην μου τὸν ἀγαπητὸν ἔσεσθαι.
Εὕρηκα τὸ ἀπόρρητον ζωῆς αἰωνίου, τὴν φλεγομένην κίονα.
Ἐκείνη οὖν ἐπέπειστο τὸν τεθνηκότα Καλλικράτην κατὰ τὴν γῆν ἀναζήσειν.
Ὅταν Καλλικράτης ἐπανέλθῃ, δείξω αὐτῷ τὸ ἀπόρρητον ζωῆς αἰωνίου. Λουσόμεθα γὰρ ἐν τῇ φλεγομένῃ κίονι.
Τίς ἄνθρωπος; Ἆρα τοῦτο δυνατόν;


Καὶ Ἐκείνη ἐπέπειστο Καλλικράτην εἰς τὴν γῆν διὰ χρόνου τοσούτου ἐπανεληλυθέναι.
Ὦ Καλλίκρατες, ἐπανελήλυθας παρ’ ἐμέ.
Ἰδού, φάρμακον τῶν ἀρχαίων Αἰγυπτίων, τὸ σῶσον αὐτόν.
Ὦ Καλλίκρατες, δισχίλια ἔτη ἀναμένω ἕως ἂν ἡ ψυχή σου, πορευθεῖσα διὰ τοῦ Αΐδου καὶ σαρκ-ώσασα, παρὰ ἐμὲ ἐπανέλθη.
Χαλεπῶς τέτρωται, ἀναίσθητός ἐστι, καὶ ὅσον οὐ τελευτῶν.
Εἴασα οὖν Ἐκείνην θεραπεύειν τὸν Λέοντα ἀποθνῄσκοντα. Ἔγωγε μὲν γὰρ οὐκ ἐδυνάμην ὠφελεῖν αὐτόν. Ἐκείνη δὲ τάχ’ ἂν ἐδύνατο. Πολλὰ γὰρ ἠκηκόη περὶ τῶν θαυμαστῶν ἰαμάτων τῶν Αἰγυπτίων.
Ὡς θαυμαστὸν εἰ Λέων ἔμελλεν ἐρᾶν ταύτης τῆς πονηρᾶς τῆς φονεύσης τὸν τοῦ Οὐίγκιαίου οἴκου πρωτότοκον.
Σοῦ ἐρῶ, ὦ Καλλίκρατες.
30


Ἔστι Στατὴ ἐρωμένη Λέοντος.
Πῶς δὴ τολμᾷς, ὦ δημοτικὴ σύ;
Ἐκείνη δέ, καίπερ διὰ δισχιλίων ἐτῶν σεσοφισμένη, ἔτι ἔπασχε ζηλοτυπίαν.
Δισχίλια ἔτη ἀναμένω τὴν ἐπάνοδον Καλλικράτους ἐκ τοῦ ᾍδου. Ἤδη οὑμὸς ἀνήρ ἐστιν.
Οὐ μὴ ἕξεις αὐτόν.
Ὦ μῶρε σύ, οὐκ ἔλεγον ἐγὼ πάλαι;
Ἐκείνη μὲν δυνάμει μυστικῇ τινι ἐχρᾶτο, Στατὴ δ’ ἐμβροντηθεῖσα ἔπεσεν.
Βλέψον εἰς τὴν κόμην.
Καλλικράτης, ὅταν πρωῒ ἐγερθῇ, οὐχ ἕξει οὐδεμίαν Στατῆς μνήμην. Τὸ γὰρ ἐν τῷ ποτηρίῳ φάρμακον ἐξαλείψει τὰ πρόσθεν ἐκ τοῦ νοῦ αὐτοῦ. Ὥστε ἀναγνὼν ἐρασθήσεται Ἐκείνης μόνης τῆς δυναμένης τὸ δῶρον ζωῆς αἰωνίου δοῦναι αὐτῷ.
Συσκευάζου τὴν πορείαν. Ἐξορμησόμεθα γὰρ ταύτῃ τῇ νυκτὶ πρὸς τὰ ἐν τῷ ὄρει βασίλεια Κόρου.
Μαίνεται μὲν αὕτη ἡ πονηρὰ βασίλισσα. Δεῖ δέ με φλυαροῦντα ἐλπίζειν πως σώσειν Λέοντα
31


Πρωῒ δὲ τῇ ὑστεραίᾳ, ἰδοὺ τὸ ὄρος Κόρου, βασίλεια **Ἐκείνης** ᾗ δεῖ πειθαρχεῖν, πέτρα εἰς ποδῶν τρισμυρίων ὕψος ἀπορρώξ, οἶκός τε τῆς φονευτρίας Καλλικράτους, ἤτοι Ἐκείνης τῆς εὑρηκυίας τὸ ἀπόρρητον ζωῆς αἰωνίου.
32

Παρασκευάζετε τὰ βασίλεια. Φέρομαι γὰρ ξένους εἰς Κόρον.
Ἐγὼ μὲν ἐφρόντιζον περὶ Λέοντος. Αὐτὸς δὲ φαινόμενός γε ῥαΐζειν ἔτι βαθὺν ἐκοιμᾶτο.
Ἔπειτα ἐγὼ καὶ Λέων διεχωρίσθημεν, καὶ ἀπήρεσε τοῦτό μοι.
Ἔνεγκε αὐτὸν εἰς τὴν αὐλήν.
Ἐκείνη ἐστὶ κρατίστη ἐν ἰατρικῇ. Πᾶς λαὸς αὐτῆς ἦν. Ἴδε νεκροὺς τοὺς ταριχευμένους, οἳ φαίνονται μᾶλλον ζῆν ἢ ἄνθρωποι ζῶντες.
Εὔχομαι Λέοντα ζῆν. Ἱκανοὶ γὰρ νεκροί εἰσιν ἐπὶ τῆς γῆς. Διὸ εἶμι εἰς τὴν αὐλήν.

Ἐάν τις εἰσέλθῃ θανεῖται.
Ἐπιλανθάνει **Ἐκείνης** βασιλίσσης οὔσης. Εἰ δὴ βούλει φίλον σὸν ἐν ὀφθαλμοῖς ἔχειν, ἀκολούθει μετ’ ἐμοῦ.
Ἦν μὲν οἰκίσκος ἐπικείμενος τῇ αὐλῇ.
Αὐτὸς θεῶ, ἀκινδύνως δέ.
Ἐκείνη δ’ ἐτεθήκη Λέοντα ἐπὶ βωμοῦ.
Ῥαΐσεις, ὦ Καλλικρατίδιον. Χορεύσω γὰρ τοὺς ἱεροὺς θεσμοὺς τῶν θεῶν Κόρου. Τοῦτο μὲν ἀρέσει τοῖς θεοῖς, οἱ δὲ ἰάσονταί σε.

Θεῷ. Ἐκείνη, ἐπικαλέσασα θεοὺς Κόρου εἰς βοήθειαν, χορεύσει χορὸν παλαιῶν Αἰγυπτίων. Ἐὰν **Ἐκείνη** εὖ χορεύσῃ καὶ θεοῖς ἀρέσῃ, θεοὶ ἰάσονται φίλον σόν.
Ἄγε, εὖ ἐχόρευσε. Θεοῖς ἀρεσαι ἄν. Συγχωρούσης βασιλίσσης, εἰσέλθωμεν νῦν αὐλήν.
35


Τότε μέν, τοῦ χόρου τέλος λαβόντος, εἰάθημεν εἰσελθεῖν.
Ὁ δὲ Λέων καίπερ πάλιν ῥαΐσας ἀμήχανος ἦν ἐναντίον τῆς βασιλίσσης. Τό τε γὰρ φάρμακον ὃ **Ἐκείνη** ἔδωκεν αὐτῷ καὶ ἡ ἐπῳδὴ ἣν ἐπῇσεν χορεύουσα τοῖς θεοῖς Κόρου, αὐτὰ ἐδόκει τὴν Λέοντος ψυχὴν ἀσθενῆ ποιῆσαι. Οὕτω γὰρ ἡ βούλησις αὐτοῦ ἠφανίσθη, ὥστε Λέων ἡσσήθη ἔρωτι Ἐκείνης τῆς δεινῆς.
Οὐ μέμνηται τοῦ παρελθόντος χρόνου.
Σοῦ ἐρῶ, ὦ βασίλισ-σά μου.
Ὢ ποία τύχη. **Ἐκείνη** μὲν γὰρ ἦν ἡ ἀπολωλεκυῖα τὸν οἶκον Λέοντος καὶ ἄλλῃ γέ πῃ ἡ πεποιηκυῖα ὥστε τὸν πατέρα αὐτοῦ ἀποθανεῖν. Νῦν δὲ Λέων Οὐιγκιαῖος ἐδούλευεν **Ἐκείνῃ**.
Μόνον ἐπιθυμῶ ζῆν σὺν **Ἐκείνῃ**.
Δώσω σοι ζωὴν αἰώνιον. Ἐγὼ καὶ σὺ λουσόμεθα ἐν τῇ φλεγομένῃ κίονι. Ἐν τῇ φλεγομένῃ κίονι, τῇ ζωὴν αἰώνιον διδούσῃ.
Πρὸς τὴν φλεγομένην κίονα. Ἐντὸς τῆς ὥρας πορευόμεθα.


Μέσον δὲ τὸ ὄρος Κόρου κοῖλον ἦν. Πεδίον γὰρ μέγα ἔτεινεν ἐφ' ὅσον οὐχ ἡ ὄψις ἀφικνεῖτο. Ἐν δὲ τῷ ἐσχάτῳ, ἡ ὄρους κορυφὴ ὑψηλοῦ ἀνίστατο. Καὶ πρὸς αὐτὴν τὴν μακράν τε καὶ τραχεῖαν πέτραν ἔδει ἡμᾶς ἀφικνεῖσθαι.
Δείλῃ δ' ἑτοίμως εἴχομεν ἀναβαίνειν.
Σπεύδετε, ὅτι μακρὰ ἡ ἀνάβασις.
Καὶ ἀνέβημεν σχεδὸν τέσσαρας ὥρας. Τὸ δὲ πεδίον ἦν ὑπὸ ταῖς νεφέλαις ἀποκεκρυμμένον.
Ἄρχεται τὸ ὄρθιον μέρος τῆς πορείας.
Μὴ φοβεῖσθε.
Ἰδὼν δ' ὅσον οὐκ ἠθύμησα.
Ἀκολουθεῖτέ μοι.
37


Ἰδού, τὸ χάσμα Κόρου.



Εὐλαβεῖσθε. Ὅτι ὁ στρογγύλος πέτρος ἀνέμῳ κυλίει.
Ἐκείνη μὲν γελῶσα διέβη.
Λέων δὲ τοῦτο διαπράξας προὔτεινε τὴν χεῖρά μοι τοῦ διαβῆναι.
Μουχαμέτης δ᾽ ἔπεσεν αὐτῇ τῇ σανίδι. Πῶς ἐπάνιμεν πέρα τοῦ χάσματος;
Ἆ.

Ἰδοὺ ἡ φλεγομένη κίων, ἡ ζωὴν αἰώνιον διδοῦσα.
Ἐκείνη οὖν ἐξεδύσατο τὰ ἱμάτια.
Λοούσομαι τὸ σῶμα ἐν ταῖς φλοξίν.
Οὐδεὶς φόβος, ὦ Καλλίκρατες.
40


Καὶ μὴν αἱ περὶ τὴς καλῆς βασιλίσσης φλόγες βρυχώμεναι ἐψόφουν ὥσπερ εἰ ἦν Ἐκείνη αὐτὸ τὸ τῆς φλογὸς θεῖον.
41


Εἶτα Ἐκείνη ἀνεδύσατο λαμπροτέρα τε καὶ καλλίων τῆς τυχούσης ἥντινά γε ἐλπίζω ποτὲ ὄψεσθαι.
Ἑπόμενος ἐγὼ εἶμι εἰς τὴν φλόγα, ὦ βασίλισσά μου.
Τὸ πρᾶγμα κακῶς ἔχει.
Σώσειέν με οἱ θεοί.
Ἐκείνη δὴ ἐγήρασκεν ἐν ὀφθαλμοῖς ἡμῶν.
Ποῖα τιμωρία ἐστὶν αὕτη;
42

Καὶ **Ἐκείνη** ῥυτιδουμένη συνηρεῖτο ἐν αὐτοῖς ὀφθαλμοῖς ἡμῶν.
Ἀπόλλυμαι. Ἀποθνῄσκω.
Ἀποτέθνηκεν.
Σύγε μὲν ἐκδεδίκηκας τὸν οἶκον, ἡ δὲ τιμωρία ἀεὶ πικρά ἐστιν.
Ἄξιον οὐκ ἔστι βιοῦν ἄνευ **Ἐκείνης**. Ἀποθανοῦμαι ἐν τῇ φλογί.
Ἆρα μὴ μαίνει;
93

Ἐκείνης δὲ τεθνηκυίας, καὶ ἡ αὐτῆς εἰς Λέοντος ψυχὴν μαγικὴ δύναμις ἐλελύθη. Κατελέλυτο γὰρ ἡ ἐπῳδή. Λέων οὖν ἠγέρθη ὡς ἐξ δεινοῦ ἐνυπνίου.
Τί πέπρακται;
Ἐκεινὴ ἅπαξ καὶ πλεονάκις εἰσῆλθεν εἰς τὴν φλεγομένην κίονα. Οὕτω γε τὴν γνώμην ἔχω.
Ἔλεγον μὲν ἐγὼ πάλαι, Ἐκείνη δ' οὐκ ἤκουεν. Τὸ γὰρ ἀνθρώπινον σῶμα τοσοῦτον ὑπομένει καὶ τὴν φλόγα ζωῆς. Τό γε νῦν Ἐκείνη οὕτως συνετετεαράχει ὥστε ψοφοῦσα αὐανθῆναι.
Ἀπίωμεν ἐντεῦθεν.
Οὐκ ἔξεστιν ἡμῖν ᾗ ἐληλύθαμεν ἐπανελθεῖν. Ὅταν γὰρ ὁ λαὸς αὐτῆς ἀκούσῃ τοῦ Ἐκείνης θανάτου, ἀποκτενοῦσιν ἡμᾶς.
Ἔστιν ὁδὸς εἰς σωτηρίαν. Δεῦτε.
Ἐκεῖνος μὲν ὁ ποταμὸς κατάξει ὑμᾶς εἰς τὴν θάλασσαν. Τὸ δὲ λοιπὸν ὑμέτερόν ἐστιν.
Τί ποτε ποιεῖς ὑπὲρ ἡμῶν;

Πίστις ἐν ἀνθρώποις ἐπιθυμητὴ ὑπὲρ χρυσίον ἢ καὶ ζωὴν αἰώνιον.
Ἐκείνη δ’ ἄπιστος ἦν. Ἐπειθόμην δὴ **’Εκείνῃ**
ζώσῃ. Βασίλισσά μου γὰρ ἦν. Νῦν
δ’ οὐδὲν κωλύει με ἀπὸ τοῦ ἀνταπ-
οδοῦναι χάριν Πρίνῳ σώσαντι ψυχήν
μου ἐν τῷ ἕλει. Κατάξω ὑμᾶς πρὸς
τὸν ποταμόν.
Ἀλλὰ μὴν πῇ ἐκεῖσε ἀφιξόμεθα;
Ὁδῷ ἀπορρήτῳ. Ἀκολουθεῖτε μοι.
Εὐψύχει, ὦ πονηρὰ βασίλισσα. Μόνον γὰρ ὁ θάνατος οἷος τ’ ἦν καταλῦσαι τήν σου ὑπὲρ ἐμοῦ ἐπῳδήν. Νῦν οὖν ἐλεύθερός εἰμί. Ὅ τε οἶκός μου ὅ τε πατὴρ κἀγὼ ἡδέως ἀναπαυόμεθα, ὦ **’Εκείνη** ἡ εἰς αἰῶνα βιώσασα.


Εἶτα δέ, Βιλλαρικοῦ ἡμᾶς ἐπὶ τὸν ποταμὸν καταγαγόντος, ἐπορεύθημεν ἐπὶ τήν τε θάλασσαν καὶ οἴκαδε εἰς τὴν Ἀγγλίαν, ὅπου ἐγὼ καὶ Λέων εὐδαίμονες καὶ μακάριοι βιοῦμεν, ἢ οὕτω γε δοκεῖ. Οὐ γὰρ ἡ τιμωρία οὐδέποτε ἐποίησε τοὺς ἀνθρώπους εὐδαίμονας.
Ὅταν δὲ ἡ φλὸξ ἐκκάηται, Λέων ἐνίοτε μὲν δοκεῖ μακρὰν ἀπέχειν ἀπὸ τοῦ ἐνθάδε τόπου τοῦ τῶν ἀνθρώπων. Ἐνίοτε δ’ εἰς τὴν γῆν Κόρου. Ὅπερ λυπεῖ με. Τρόπον γάρ τινα ἡ ψυχὴ **Ἐκείνης** τῆς καλῆς ἀλλὰ πονηρᾶς δοκεῖ μεθ’ ἡμῶν καὶ ἐν τῷ θανάτῳ μένειν.

Ἐκείνη

She

The original English work was published by Seaboard Publishers Inc. and is now in the Public Domain.

The Ancient Greek translation was written by Bedwere and is used under the Creative Commons Attribution 4.0 International License.

The digital restoration and lettering for this edition have been dedicated to the Public Domain via the CC0 1.0 Universal waiver.